γεὶς δὲ παρὰ τοῦ Λαΐου, ἐμάνη ἐπὶ τούτῳ, καὶ ἀπέκτεινεν αὐτὸν καὶ πάντας τοὺς μετ᾽ αὐτοῦ· ἕνα δὲ μόνον ἀφῆκεν, ὃς ςραφεὶς οἴκοι ἀπήγγειλε πάντα. ἐλθὼν δὲ εἰς Θήβας ὁ Οἰδίπους ὕςερον, εὗρε κακὸν αὐτοῖς ἐπικείμενον μέγα, τὴν Σφίγγα· ἥτις αἰνίγματα ἔλεγε, καὶ τὸν μὴ ἰσχύοντα λῦσαι αὐτὰ, κατήσθιε. προέκειτο δὲ τότε παρὰ τῶν Θηβαίων τῷ εὑρόντι τὸ αἴνιγμα τῆς Σφιγγὸς, βραβεῖον, ἡ τοῦ Λαΐου γυνὴ Ιοκάςη, δοθησομένη αὐτῷ εἰς γάμον. εἰπούσης οὖν τῆς Σφιγγὸς τὸ αἴνιγμα τὸ, τετράπους δίπους τὲ καὶ πάλιν τρίπους, ὃ σημαινει τὸν ἄνθρωπον, ἐφεῦρε τοῦτο ὁ Οἰδίπους· ἡ δέ Σφὶγξ μανεῖσα ἀνεῖλεν αὐτήν. συνελθὼν οὖν ὁ Οἰδίπους τῇ ἰδίᾳ μητρὶ, παῖδας ἐποίησε τέσσαρας, τὸν Πολυνείκην καὶ τὸν Ετεοκλῆν, τὴν Αντιγόνην καὶ τὴν Ισμήνην. ὕςερον δὲ μαθὼν τὸ ἀνόμημα ὃ ἔδρασεν, ἐτύφλωσεν ἑαυτὸν, τοῖς δὲ εἰρημένοις υἱοῖς αὐτοῦ τὴν βασιλείαν κατέλειψεν. ἐπεὶ δὲ οὗτοι τοῦτον ὄντα τυφλὸν ἐν οἰκίσκῳ καθεῖρξαν, κατηράσατο αὐτοὺς ὥςε διὰ ξίφους καὶ πολέμου τὴν βασιλείαν διαμερίσασθαι. οὗ ἕνεκα καὶ φοβούμενοι, τὸ ὁμοῦ μὲν εἶναι ἐν ταῖς Θήβαις καὶ βασιλεύειν κατέλειψαν· συμπεφωνήκασι δὲ ἵνα τοῦ ἑνὸς ἐξερχομένου τῆς πόλεως καὶ ἀποδημοῦντος, ἐπὶ χρόνον ἕνα ὁ ἕτερος βασιλεύοι· καὶ πάλιν τοῦ ἀποδημοῦντος εἰσερχομένου, ὑποχωροίη ὁ ἕτερος· ὡς ἂν ἐκ τούτου φύγωσι τὴν ἀράν. ὁ γοῦν Πολυνείκης πρῶτος ὢν, ἐκράτησεν ἐν χρόνῳ ἑνὶ τῆς βασιλείας, εἶτα ἐξῆλθε, τῷ Ετεοκλεῖ παραχωρήσας αὐτῆς. τοῦ χρόνου δὲ συμπληρωθέντος, ἐπὶ τὸ βασι-